τέτμηται ὁ ΗΓ τῷ Ε. ὁ ἄρα ὑπὸ τῶν ΗΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ τῷ ἀπὸ ΒΕ τετραγώνῳ· ἀλλὰ καὶ ὁ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ὑπόκειται τῷ ἀπὸ ΒΕ τετραγώνῳ· ὁ ἄρα ὑπὸ τῶν ΗΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ τῷ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ. καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ἀπὸ ΓΕ. συνάγεται ὁ ΑΒ ἴσος τῷ ΗΒ. ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ τῷ ἀπὸ ΒΕ· λέγω δὴ ὅτι οὐδὲ ἐλάσσονι τοῦ ἀπὸ ΒΕ. εἰ γὰρ δυνατόν ἔστω ἴσος τῷ ἀπὸ ΒΖ· καὶ τοῦ ΔΖ διπλάσιος ὁ ΘΑ. καὶ συναχθήσεται πάλιν διπλάσιος ὁ ΘΓ τοῦ ΓΖ· ὥστε καὶ τὸν ΓΘ δίχα τετμῆσθαι κατὰ τὸ Ζ. καὶ διὰ τοῦτο τὸν ὑπὸ τῶν ΘΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΖΓ ἴσον γίνεσθαι τῷ ἀπὸ ΖΒ· ὑπόκειται δὲ καὶ ὁ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος τῷ ἀπὸ ΒΖ· συναχθήσεται ἄρα ἴσος ὁ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ τῷ ὑπὸ τῶν ΘΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΖ. ὅπερ ἄτοπον· οὐκ ἄρα ὁ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ ἴσος ἐστὶ τῷ ἐλάσσονι τοῦ ἀπὸ ΒΕ. ἐδείχθη δὲ ὅτι οὐδὲ αὐτῷ τῷ ἀπὸ ΒΕ. οὐδὲ μείζονι αὐτοῦ· οὐκ ἄρα ὁ ὑπὸ τῶν ΑΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΓΕ τετράγωνός ἐστι. δυνατοῦ δὲ ὄντος καὶ κατὰ πλείονας τρόπους τοὺς εἰρημένους ἀριθμοὺς ἐπιδεικνύναι, ἀρκείσθωσαν ἡμῖν οἱ εἰρημένοι. ἵνα μὴ μακροτέρας οὔσης τῆς πραγματείας, ἐπὶ πλεῖον αὐτὴν μηκύνωμεν:

κθ Εὑρεῖν δύο ῥητὰς δυνάμει μόνον συμμέτρους. ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. ἐκκείσθω γάρ τις ῥητὴ ἡ ΑΒ· καὶ δύο τετράγωνοι ἀριθμοὶ οἱ ΓΔ ΔΕ· ὥστε τὴν ὑπεροχὴν αὐτῶν τὸν ΓΕ μὴ εἶναι τετράγωνον· καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΖΒ. καὶ πεποιήσθω ὡς ὁ ΔΓ πρὸς τὸν ΓΕ. οὕτως τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΑΖ τετράγωνον καὶ ἐπεζεύχθω ἡ ΖΒ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ. οὕτως ὁ ΔΓ πρὸς τὸν ΓΕ· τὸ ἀπὸ τῆς ΒΑ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΑΖ λόγον ἔχει ὃν ἀριθμὸς ὁ ΔΓ πρὸς ἀριθμὸν τὸν ΓΕ· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΒΑ τῷ ἀπὸ τῆς ΑΖ· ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΑΒ· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΖ· ῥητὴ ἄρα καὶ ἡ ΑΖ· καὶ ἐπεὶ ὁ ΔΓ πρὸς τὸν ΓΕ λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. οὐδὲ τὸ ἀπὸ τῆς ΒΑ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΑΖ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΑΖ μήκει· αἱ ΒΑ ΑΖ ἄρα ῥηταί εἰσιν δυνάμει μόνον σύμμετροι· καὶ ἐπεί ἐστιν ὡς ὁ ΔΓ πρὸς τὸν ΓΕ. οὕτως τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΖ· ἀναστρέψαντι ἄρα ὡς ὁ ΓΔ πρὸς τὸν ΔΕ. οὕτως τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΖ· ὁ δὲ ΓΔ πρὸς τὸν ΔΕ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΑΒ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΒΖ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς